*ἐξήγαγ᾽ ἐς τόδ᾽ ἄλσος. οὐ γὰρ ἄν ποτε*
*πρώταισιν ὑμῖν ἀντέκυρσ᾽ ὁδοιπορῶν,*
*νήφων ἀοίνοις, κἀπὶ σεμνὸν ἑζόμην*
*βάθρον τόδ᾽ ἀσκέπαρνον. ἀλλά μοι, θεαί,*
*βίου κατ᾽ ὀμφὰς τὰς Ἀπόλλωνος δότε*
*πέρασιν ἤδη καὶ καταστροφήν τινα,*
*εἰ μὴ δοκῶ τι μειόνως ἔχειν, ἀεὶ*
*μόχθοις λατρεύων τοῖς ὑπερτάτοις βροτῶν.*
*ἴτ᾽, ὦ γλυκεῖαι παῖδες ἀρχαίου Σκότου,*
*ἴτ᾽, ὦ μεγίστης Παλλάδος καλούμεναι*
*πασῶν Ἀθῆναι τιμιωτάτη πόλις,*
*οἰκτείρατ᾽ ἀνδρὸς Οἰδίπου τόδ᾽ ἄθλιον*
*εἴδωλον· οὐ γὰρ δὴ τόδ᾽ ἀρχαῖον δέμας.*

ΑΝΤΙΓΟΝΗ.

*σίγα. πορεύονται γὰρ οἵδε δή τινες*
*χρόνῳ παλαιοί, σῆς ἕδρας ἐπίσκοποι.*

V. 105. Nescio, an scripserit Sophocles *μόχθους λατρεύων τοὺς ὑπερτάτους βροτῶν*. Vide quae in Censura Ai. ab Lobeck. edit. p. 84 sq. exposui. Certe *λατρεύειν μόχθοις* vel *πόνοις* alibi nunquam dictum esse videtur. Neque apte comparaveris v. 283: *ἔργοις ἀνοσίοις ὑπηρετῶν*.

V. 100. *ἀοίνοις*] Aquam enim mulsam sine vino libabant Eumenidibus, cf. 158—160. 481. et Pausaniam II, 11. Quare Aeschylus Eumen. 107. earum *χοὰς ἀοίνους, νηφάλια μειλίγματα* nominat. REISIG.

Ibid. Schol.: *κἀπὶ σεμνὸν ἑζόμην· ὃ ἄνω εἶπεν* (19.), *τοῦδ᾽ ἐπ᾽ ἀξέστου πέτρου. Ἀσκέπαρνον δὲ τὸν ἄγλυφον καὶ ἀπελέκητον καὶ ἄξεστον, οὐκ εἰργασμένον.*

V. 103. *πέρασιν*] gl. *τελείωσιν*. BR. De *καταστροφὴν* comparant Thucyd. II, 46., ubi Scholiasta *θάνατος* explicat.

V. 104. *εἰ μὴ δοκῶ τι μειόνως ἔχειν*] Recte Hermannus: nisi forte vilior vobis esse videor, quam cui hoc beneficium concedatis, quum quae extrema sunt hominum mala sustineam.

V. 106. Schol.: *ἴτ᾽, ὦ γλυκεῖαι· εὐφήμως τὰς Ἐρινύας γλυκείας φησίν, ἵνα μὴ πικραὶ αὐτῷ γένωνται.* Rectius Iacobsius *γλυκείας* appellare Oedipum deas putat, per quas se ad *τὸν γλυκὺν λιμένα* malorum suorum deductum iri speret.

V. 107. *Παλλάδος καλούμεναι*] Coniunctum participium cum genitivo eadem ratione, qua supra 65: *τοῦδε τοῦ θεοῦ γ᾽ ἐπώνυμοι* dictum. Cf. Eur. Ion. 8: *ἔστιν γὰρ οὐκ ἄσημος Ἑλλήνων πόλις, τῆς χρυσολόγχου Παλλάδος κεκλημένη.*

V. 109 sq. *ἀνδρὸς Οἰδίπου* etc.] Hermannus ad El. 45. hoc sic intelligendum monet, quasi dictum sit *Οἰδίπου τόδε εἴδωλον ἀνδρός*, hanc speciem viri, quae sola reliqua est Oedipo.

V. 111. *πορεύονται γὰρ οἵδε*] I. e. *πορεύονται γὰρ ὧδε*, proficiscuntur enim huc. Sic 723: *ἆσσον ἔρχεται Κρέων ὅδ᾽ ἡμῖν*. Antig. 155: *ἀλλ᾽ ὅδε γὰρ δὴ βασιλεὺς χώρας — χωρεῖ.*